μιᾶς γοῦν τῶν ἡμερῶν, ὡς διηγοῦντο, ὅτι ἐργαζόμενος
on-one at-any-rate of-the days as they-related that working
ἐν τῇ σκοτίᾳ τὴν βελόνην ἀφῆκεν ἐν ᾗ κατέρραπτε τὴν
in the darkness the needle he-let-go with which he-was-sewing the

σπυρίδα· καὶ μὴ εὑρόντος αὐτὴν αὐτοῦ, λαμπάδα ἐποίησεν
basket and not having-found it him (a)-lamp made
ὁ δαίμων καὶ εὗρε τὴν βελόνην. πάλιν φυσιωθεὶς ἐπὶ
the demon and he-found the needle again puffed-up at
τούτῳ μέγα ἐφρόνει, καὶ ἐπὶ τοσοῦτον ἐφυσιώθη ὡς
this great(-things) he-thought and to so-far he-was-puffed-up as
καὶ τῆς κοινωνίας τῶν μυστηρίων αὐτὸν καταφρονῆσαι.
even the communion of-the mysteries him to-despise
συνέβη δὲ ἐλθόντας τινὰς ξένους τραγήματα ἐνεγκεῖν ἐν τῇ
it-happened and having-come some strangers sweetmeats to-bring in the
ἐκκλησίᾳ τῇ ἀδελφότητι. λαβὼν οὖν ὁ ἅγιος Μακάριος
church to-the brotherhood having-taken then the holy Macarius
ὁ πρεσβύτερος ἡμῶν, ἀπέστειλεν ἡμῖν ἑκάστῳ εἰς τὴν
the presbyter our sent to-us each to the
κέλλαν πρὸς δράκα, ἐν οἷς καὶ τῷ Οὐάλεντι. λαβὼν
cell by (a)-handful among whom also — to-Valens having-taken
οὖν ὁ Οὐάλης τὸν ἀπενεγκόντα ὕβρισε καὶ ἐτύπτησε,
then — Valens the(-one) having-brought(-it) he-insulted and beat
καὶ λέγει αὐτῷ· Ἄπελθε καὶ εἰπὲ Μακαρίῳ· Οὐκ εἰμί
and says to-him go-away and say to-Macarius not I-am
σου χείρων, ἵνα σὺ ἐμοὶ εὐλογίαν πέμψῃς. γνοὺς οὖν
than-you worse that you to-me (a)-blessing should-send having-known then
ὁ Μακάριος ὅτι ἐνεπαίχθη ἀπῆλθεν αὐτὸν παρακαλέσαι
— Macarius that he-had-been-mocked went-away him to-exhort
μετὰ μίαν ἡμέραν, καὶ λέγει αὐτῷ· Οὐάλη, ἐνεπαίχθης·
after one day and says to-him Valens you-have-been-mocked
παῦσαι. καὶ ὡς οὐκ ἤκουσεν αὐτοῦ τῶν παραινέσεων
stop and as not he-heeded his the exhortations
ἀνεχώρησε. πληροφορηθεὶς οὖν ὁ δαίμων ὅτι εἰς ἄκρον
he-withdrew having-been-fully-assured then the demon that to (the)-height
αὐτοῦ ἐπείσθη τῇ πλάνῃ, ἀπέρχεται καὶ σχηματίζει
his he-was-persuaded by-the deception goes-away and transforms

ἑαυτὸν εἰς τὸν σωτῆρα, καὶ παραγίνεται ἐν νυκτὶ ἐν
himself into the savior and arrives in (the)-night in
φαντασίᾳ ἀγγέλων χιλίων λαμπάδας ἐχόντων καὶ τροχὸν
(an)-apparition of-angels thousand lamps having and (a)-wheel
πύρινον, ἐν ᾧ ἔδοξε τὸν σωτῆρα σχηματίζειν, καὶ ἕνα
fiery in which he-seemed the savior to-represent and one
προλαμβάνοντα καὶ λέγοντα· Ἠράσθη σου ὁ Χριστὸς τῇ
going-ahead and saying has-loved you — Christ for-the
πολιτείᾳ καὶ τῇ παρρησίᾳ τοῦ βίου, καὶ ἦλθεν ἰδεῖν σε.
way-of-life and the boldness of-the life and he-has-come to-see you
ἔξελθε οὖν τῆς κέλλης, καὶ μηδὲν ἄλλο ποιήσῃς ἀλλ'
come-out then from-the cell and nothing else do but
ἢ πόρρωθεν αὐτὸν ἰδὼν κύψας προσκύνησον, καὶ
except from-afar him having-seen having-stooped worship and
εἴσελθέ σου εἰς τὴν κέλλαν. ἐξελθὼν οὖν καὶ θεασάμενος
go-in your into the cell having-gone-out then and having-beheld
τὴν παράταξιν τῶν λαμπαδηφόρων, ὡς ἀπὸ σταδίου δὲ
the array of-the lamp-bearers about from (a)-stade and
τὸν ἀντίχριστον, πεσὼν προσεκύνησεν. ἐπὶ τοσοῦτον οὖν
the antichrist having-fallen he-worshiped to so-far then
πάλιν τὴν ἄλλην ἡμέραν ἐφρενοβλάβησεν, ὡς εἰσελθεῖν εἰς
again the next day he-was-deranged as to-go-in into
τὴν ἐκκλησίαν, καὶ συνηγμένης τῆς ἀδελφότητος εἰπεῖν·
the church and assembled the brotherhood to-say
Ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω· τὸν γὰρ Χριστὸν ἑώρακα
I of-communion need not have — for Christ I-have-seen
σήμερον. τότε δήσαντες αὐτὸν οἱ πατέρες καὶ σιδηρώσαντες
today then having-bound him the fathers and having-put-in-irons
ἐπὶ ἔτος ἓν ἀπεθεράπευσαν, εὐχαῖς καὶ ἀδιαφορίᾳ καὶ
for year one they-healed(-him) by-prayers and by-indifference and

ἀπραγοτέρῳ βίῳ τὸ οἴημα αὐτοῦ καθελόντες, καὶ ὡς
by-(a)-more-unoccupied life the conceit his having-taken-down and as
λέγεται· Τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα.
is-said the opposite(-things) for-the opposites (are)-cures
Ἀναγκαῖον δέ ἐστι καὶ τοὺς τῶν τοιούτων βίους ἐνθεῖναι τῷ
necessary and it-is also the of-the such(-men) lives to-put-in to-the
βιβλιδαρίῳ πρὸς ἀσφάλειαν τῶν ἐντυγχανόντων, καθάπερ
little-book for (the)-safety of-those reading just-as
καὶ ἁγίοις φυτοῖς τοῦ παραδείσου τὸ ξύλον τὸ γνωστὸν
also among-holy plants of-the paradise the tree the knowable
καλοῦ καὶ πονηροῦ· ἵνα εἴ ποτε αὐτοῖς συμβαίη κατόρθωμά
of-good and evil that if ever to-them should-happen achievement
τι, μὴ μέγα φρονήσωσιν ἐπὶ τῇ ἀρετῇ. πολλάκις γὰρ
some not great(-things) they-may-think at the virtue often for
καὶ ἀρετὴ ὑπόθεσις γίνεται πτώσεως, ὅταν μὴ σκοπῷ ὀρθῷ
also virtue (an)-occasion becomes of-fall when not with-aim right
ἐπιτελεσθῇ· γέγραπται γάρ· Εἶδον δίκαιον ἀπολλύμενον
it-be-accomplished it-is-written for I-saw (a)-righteous(-man) perishing
ἐν δικαιώματι αὐτοῦ· καί γε τοῦτο ματαιότης.
in righteousness his and indeed this vanity
Ἥρων τις γέγονε γειτνιῶν μοι, Ἀλεξανδρεὺς τῷ γένει 26
Heron a-certain was neighboring me Alexandrian by-the race
ἀστεῖος νεώτερος, εὐφυὴς τὴν διάνοιαν, καθαρὸς τὸν
refined young-man gifted in-the mind pure in-the
βίον· ὃς καὶ αὐτὸς μετὰ πόνους πολλοὺς τύφῳ βληθεὶς
life who also himself after labors many by-conceit struck
ἐξετραχηλιάσθη καὶ κατὰ τῶν πατέρων ἐφρόνησε μέγα,
was-thrown-headlong and against the fathers thought great(-things)
ὑβρίσας καὶ τὸν μακάριον Εὐάγριον, λέγων ὅτι Οἱ
having-insulted also the blessed Evagrius saying that those
πειθόμενοι τῇ διδασκαλίᾳ σου ἀπατῶνται· οὐ χρὴ γὰρ
obeying the teaching your are-deceived not (one)-must for

διδασκάλοις ἑτέροις προσέχειν παρεκτὸς τοῦ Χριστοῦ.
to-teachers other to-attend except — Christ
ἀπεχρήσατο δὲ καὶ τῇ μαρτυρίᾳ πρὸς τὸν σκοπὸν τῆς
he-misused and also the testimony for the aim of-the
ἑαυτοῦ μωρίας, καὶ ἔλεγεν ὅτι Αὐτὸς ὁ σωτὴρ εἶπε·
his-own folly and he-said that himself the savior said
Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς. ὃς ἐπὶ τοσοῦτον
not call (a)-teacher on the earth who to so-far
καὶ αὐτὸς ἐσκοτώθη ὡς καὶ αὐτὸν ὕστερον σιδηρωθῆναι,
also himself was-darkened as also him later to-be-put-in-irons
μὴ θέλοντα μηδὲ τοῖς μυστηρίοις προσέρχεσθαι. φίλη δὲ
not wishing not-even to-the mysteries to-come dear but
ἡ ἀλήθεια. καθ' ὑπερβολὴν ἦν λεπτὸς τῇ πολιτείᾳ,
the truth to excess he-was spare in-the way-of-life
ὡς πολλοὺς διηγεῖσθαι τοὺς ἐν συνηθείᾳ ὅτι πολλάκις
so-that many to-relate those in acquaintance that often
διὰ τριῶν μηνῶν ἤσθιεν, ἀρκούμενος τῇ κοινωνίᾳ τῶν
every three months he-ate being-content with-the communion of-the
μυστηρίων καὶ εἴ που ἂν φανῇ ἀγριολάχανον. πεῖραν δὲ
mysteries and if anywhere — appear (a)-wild-herb trial and
αὐτοῦ εἴληφα κἀγὼ μετὰ τοῦ μακαρίου Ἀλβανίου ἀπιὼν
of-him I-have-taken I-too with the blessed Albanius going
ἐπὶ τὴν Σκῆτιν. ἀπεῖχε δὲ ἡμῶν ἡ Σκῆτις τεσσαράκοντα
to — Scetis was-distant and from-us — Scetis forty
σημεῖα· ἐν τούτοις τοῖς τεσσαράκοντα σημείοις ἡμεῖς
miles in these the forty miles we
δεύτερον βεβρώκαμεν καὶ τρίτον ἐπίομεν ὕδωρ, ἐκεῖνος δὲ
twice have-eaten and three-times drank water he but
μηδενὸς γευσάμενος πεζὸς βαδίζων ἀπεστήθισε πεντεκαίδεκα
nothing having-tasted on-foot walking recited-by-heart fifteen
ψαλμούς, ἔπειτα τὸν μέγαν, εἶτα τὴν πρὸς Ἑβραίους
psalms then the great(-one) then the to Hebrews

ἐπιστολήν, εἶτα τὸν Ἡσαΐαν καὶ μέρος τι τοῦ Ἱερεμίου,
epistle then — Isaiah and part some — of-Jeremiah
εἶτα Λουκᾶν τὸν εὐαγγελιστήν, εἶτα τὰς παροιμίας. καὶ
then Luke the evangelist then the Proverbs and
τούτων οὕτως ἐχόντων καταλαμβάνειν αὐτὸν οὐκ ἠδυνάμεθα
these thus being to-overtake him not we-could
βαδίζοντα. οὗτος τελευταῖον ὡς ὑπὸ πυρὸς ἐλαυνόμενος
walking this(-man) at-last as by fire being-driven
ἐν τῇ κέλλῃ μὲν αὐτοῦ καθεσθῆναι οὐκ ἠδυνήθη·
in the cell indeed his to-sit not was-able
ἀπελθὼν δὲ εἰς Ἀλεξάνδρειαν κατ᾽ οἰκονομίαν, τὸ δὴ
having-gone-away and to Alexandria by dispensation the indeed
λεγόμενον, ἥλῳ τὸν ἧλον ἐξέκρουσε. περιέπεσε γὰρ
saying with-(a)-nail the nail he-knocked-out he-fell for
ἑκουσίως τῇ ἀδιαφορίᾳ, ἐς ὕστερον ἀκούσιον εὑράμενος
willingly into-the indifference at later involuntary having-found
σωτηρίαν. παρέβαλε γὰρ θεάτρῳ καὶ ἱπποδρομίοις καὶ τὰς
salvation he-frequented for (the)-theater and horse-races and the
διατριβὰς εἶχεν ἐν καπηλείοις· οὕτως δὲ γαστριμαργῶν
haunts he-had in taverns thus and being-gluttonous
καὶ οἰνοφλυγῶν ἐνέπεσεν εἰς τὸν βόρβορον τῆς γυναικείας
and wine-bibbing he-fell into the mire of-the womanly
ἐπιθυμίας. καὶ ὡς ἐσκέπτετο ἁμαρτῆσαι, μιμάδι τινὶ
desire and when he-was-considering to-sin with-actress a-certain
συντυχὼν τὰ πρὸς τὸ ἕλκος αὐτοῦ διελέγετο. τούτων
having-met the(-things) about the ulcer his he-discussed these
οὕτως διαπραττομένων γέγονεν αὐτῷ ἄνθραξ κατ᾽ αὐτῆς
thus being-done there-came to-him (a)-carbuncle on very
τῆς βαλάνου, καὶ ἐπὶ τοσοῦτον ἐνόσησεν ἑξαμηνιαῖον
the glans and to so-far he-was-sick (for)-six-months
χρόνον ὡς κατασαπῆναι αὐτοῦ τὰ μόρια καὶ ἀποπεσεῖν.
time as to-rot his the parts and to-fall-off

ὕστερον δὲ ὑγιάνας ἄνευ τῶν μελῶν ἐκείνων καὶ
later and having-become-healthy without the members those and
ἐπανελθὼν εἰς φρόνημα θεϊκόν, ἦλθεν ἐξομολογούμενος
having-returned to (a)-mind divine he-came confessing
ταῦτα πάντα τοῖς πατράσιν· ἐνεργῆσαι δὲ μὴ φθάσας
these(-things) all to-the fathers to-act but not having-reached
ἐκοιμήθη μετ᾽ ὀλίγας ἡμέρας.
he-fell-asleep after few days

VIII · ELIAS, PIAMOUN, AND PACHOMIUS

Ptolemy, living alone beyond Scetis on the dew he gathers, falls away from teaching and communion into wandering and drink, and a virgin in Jerusalem, proud of her sackcloth, falls with the man who serves her. Elias builds a monastery for three hundred women at Athribis; angels free him of desire, and Dorotheus succeeds him, keeping the peace from a window. Piamoun, a virgin who lives with her mother, stops by prayer a village coming to attack her own. An angel gives Pachomius on a tablet the rule of Tabennesi, which seven thousand monks keep, ranked under letters and working at every craft.

27 Ἄλλος πάλιν Πτολεμαῖος ὀνόματι δυσδιήγητον ἢ
another again Ptolemy by-name (a)-hard-to-describe or
ἀνεκδιήγητον ζήσας βίον· ᾤκησε γὰρ ἐπέκεινα τῆς
indescribable having-lived life he-dwelt for beyond —
Σκήτεως εἰς τὴν λεγομένην Κλίμακα· τόπος δέ ἐστιν
Scetis in the called Ladder (a)-place and is
οὕτω καλούμενος εἰς ὃν οἰκῆσαι οὐδεὶς δύναται ἐν τῷ
so called in which to-dwell no-one can by the
ἀπὸ δεκαοκτὼ σημείων εἶναι τὸ φρέαρ τῶν ἀδελφῶν.
from eighteen miles to-be the well of-the brothers
βαστάσας οὖν ἐκεῖνος κεράμια πολλὰ ἀπήνεγκε, καὶ τῷ
having-carried then he jars many he-brought-away and in-the

δεκεμβρίῳ καὶ ἰαννουαρίῳ μηνὶ συνάγων τὴν δρόσον —
December and January month gathering the dew
δροσίζει γὰρ ἐν ἐκείνοις τοῖς μέρεσι τότε πολλά —
it-dews for in those the parts then much
σπόγγῳ ἐκ τῶν λίθων, διήρκεσεν ἐπὶ ἔτη δεκαπέντε
with-(a)-sponge from the stones he-held-out for years fifteen
οἰκήσας ἐκεῖ. ὃς ἀποξενωθεὶς διδασκαλίας καὶ συντυχίας
having-dwelt there who having-been-estranged from-teaching and meeting
ἀνδρῶν ὁσίων καὶ ὠφελείας, καὶ συνεχοῦς κοινωνίας τῶν
of-men holy and benefit and continual communion of-the
μυστηρίων, ἐπὶ τοσοῦτον ἐξέστη τῆς εὐθείας ὡς λέγειν
mysteries to so-far departed from-the straight(-way) as to-say
μηδὲν εἶναι τὰ πράγματα, ἀλλ' ἢ φέρεσθαι μετέωρος
nothing to-be the things but except to-be-borne aloft
ἄχρι τῆς δεῦρο ἀλώμενος ἐν Αἰγύπτῳ καὶ ἔκδοτον
until the(-time) hither wandering in Egypt and given-over
ἑαυτὸν δεδωκὼς γαστριμαργίᾳ καὶ οἰνοφλυγίᾳ, μηδενὶ
himself having-given to-gluttony and wine-bibbing to-no-one
μηδὲν ὁμιλῶν. καὶ αὕτη δὲ ἡ συμφορὰ συνέβη Πτολεμαίῳ
anything conversing and this too the calamity happened to-Ptolemy
ἐκ τῆς ἀλόγου οἰήσεως, κατὰ τὸ γεγραμμένον·
from the irrational conceit according-to the(-thing) written
Οἷς μὴ ὑπάρχει κυβέρνησις πίπτουσιν ὥσπερ φύλλα.
to-whom not belongs guidance they-fall like leaves
Παρθένον πάλιν ἔγνων ἐν Ἱεροσολύμοις σακκοφοροῦσαν ἐπὶ 28
(a)-virgin again I-knew in Jerusalem wearing-sackcloth for
ἑξαετίαν καὶ ἐγκεκλεισμένην, μηδενὸς τῶν εἰς ἡδονὴν
six-years and shut-in nothing of-the(-things) to pleasure
συντεινόντων λαμβάνουσαν· ἥτις ἐς ὕστερον ἐγκαταλειφθεῖσα
tending taking who at later having-been-forsaken
ὑπερβολῇ ὑπερηφανίας περιέπεσε πτώσει. καὶ ἀνοίξασα τὴν
by-excess of-pride fell-into (a)-fall and having-opened the

θυρίδα εἰσεδέξατο τὸν ὑπηρετούμενον καὶ αὐτῷ συνεφύρη
window received the(-one) serving and with-him was-mingled
ἐν τῷ μὴ κατὰ θεϊκὴν πρόθεσιν καὶ ἀγάπην θεοῦ
by the not according-to divine purpose and love of-God
ἐσχηκέναι τὴν ἄσκησιν, ἀλλὰ κατὰ σκηνὴν ἀνθρωπίνην,
to-have-had the discipline but according-to show human
ὅ ἐστι κενοδοξίας καὶ σαθρᾶς προαιρέσεως. τῶν γὰρ
which is of-vainglory and of-rotten choice the for
λογισμῶν αὐτῆς ἀπασχοληθέντων εἰς τὸ καταγινώσκειν
thoughts her having-been-occupied in the to-condemn
τῶν ἄλλων, οὐκ ἦν ὁ φύλαξ τῆς σωφροσύνης.
the others not was the guardian of-the chastity

29 Ἠλίας τις ἀσκητὴς σφόδρα γέγονε φιλοπάρθενος· εἰσὶ
Elias a-certain ascetic greatly was virgin-loving there-are
γὰρ τοιαῦται ψυχαὶ αἷς μαρτυρεῖ τὸ τέλος κατὰ
for such souls to-which bears-witness the end according-to
ἀρετήν. ὃς κατοικτειρήσας τὸ τάγμα τῶν ἀσκητριῶν,
virtue who having-taken-pity-on the order of-the women-ascetics
ἐν Ἀθριβῇ πόλει ἔχων ἀναλώματα ᾠκοδόμησε μέγα
in Athribis city having means built (a)-great
μοναστήριον, καὶ συνήγαγε πάσας τὰς ἀλωμένας ἐντὸς
monastery and gathered all the wandering(-women) inside
ἀκολούθως αὐτῶν φροντίζων, ποιήσας αὐταῖς ἀνάπαυσιν
consistently them caring-for having-made for-them refreshment
πᾶσαν καὶ κήπους καὶ χρηστήρια καὶ ἄλλα ὧν ἀπαιτεῖ
all and gardens and utensils and other(-things) of-which requires
ὁ βίος. αὗται ἐκ διαφόρων βίων ἠγμέναι συνεχεῖς
the life these from different lives having-been-brought continual
ἐποίουν μάχας μετ᾽ ἀλλήλων. ἐπεὶ οὖν ἐχρῆν αὐτὸν καὶ
made fights with one-another since then it-was-needful him both
διακούειν καὶ εἰρηνεύειν, συνήγαγε γὰρ ὡς τριακοσίας,
to-hear and to-make-peace he-had-gathered for about three-hundred

ἀνάγκην εἶχε μεσιτεύειν ἐπὶ δύο ἔτη. νέαν οὖν ἄγων τὴν
necessity he-had to-mediate for two years young then leading the
ἡλικίαν, ἦν γὰρ ὡς τριάκοντα ἐτῶν ἢ τεσσαράκοντα,
age he-was for about thirty years or forty
οὗτος ἐπειράσθη καθ' ἡδονήν· καὶ ἀναχωρήσας τοῦ
this(-man) was-tempted according-to pleasure and having-withdrawn from-the
μοναστηρίου νῆστις ἐπλανᾶτο ἀνὰ τὴν ἔρημον ἐπὶ ἡμέρας
monastery fasting he-wandered through the desert for days
δύο, τοῦτο δεόμενος ὅτι Κύριε, ἢ ἀπόκτεινόν με ἵνα μὴ
two this praying that Lord either kill me that not
ἴδω αὐτὰς θλιβομένας, ἢ τὸ πάθος λάβε ἀπ' ἐμοῦ ἵνα
I-may-see them afflicted or the passion take from me that
φροντίζω αὐτῶν κατὰ λόγον. ἑσπέρας οὖν γενομένης
I-may-care-for them according-to reason evening then having-come
ὕπνωσεν ἐν τῇ ἐρήμῳ καὶ ἐλθόντες πρὸς αὐτὸν ἄγγελοι
he-slept in the desert and having-come to him angels
τρεῖς, ὡς αὐτὸς διηγεῖτο, κατέσχον αὐτὸν καὶ λέγουσι· Τί
three as himself related held-fast him and say why
ἐξῆλθες τοῦ μοναστηρίου τῶν γυναικῶν; οἷς διηγεῖτο
did-you-go-out from-the monastery of-the women to-whom he-related
τὸ πρᾶγμα· Ὅτι ἐφοβήθην μήποτε κἀκείνας βλάψω καὶ
the matter that I-feared lest also-them I-harm and
ἐμαυτόν. λέγουσιν αὐτῷ· Οὐκοῦν ἐάν σε τοῦ πάθους
myself they-say to-him well-then if you from-the passion
ἀπαλλάξωμεν ἀπέρχῃ καὶ φροντίζεις αὐτῶν; ἐπὶ τούτοις
we-free you-go-away and care-for them on these(-terms)
συνέθετο. εἰσπράττονται αὐτὸν ὅρκον. τὸν δὲ ὅρκον ἔλεγε
he-agreed they-exact-from him (an)-oath the and oath he-said
τοιοῦτον εἶναι· Ὄμοσον ἡμῖν ὅτι Μὰ τὸν φροντίζοντά με
such to-be swear to-us that by the(-one) caring-for me
φροντίσω αὐτῶν. καὶ ὤμοσεν αὐτοῖς· καὶ τότε κατέσχον
I-will-care-for them and he-swore to-them and then held

αὐτοῦ εἷς τὰς χεῖρας καὶ εἷς τοὺς πόδας, καὶ ὁ τρίτος
him one the hands and one the feet and the third
λαβὼν ξυρὸν ἐξέτεμεν αὐτοῦ τοὺς διδύμους, οὐ κατὰ
having-taken (a)-razor cut-out his the testicles not according-to
ἀλήθειαν ἀλλὰ κατὰ φαντασίαν. ἔδοξεν οὖν τῇ ἐκστάσει,
truth but according-to apparition he-seemed then in-the trance
ὡς ἂν εἴποι τις, καὶ ἀποτεθεραπεῦσθαι. ἐπερωτῶσιν αὐτόν·
as — would-say one also to-have-been-healed they-ask him
Ἠισθήθης ὠφελείας; λέγει αὐτοῖς· Σφόδρα ἐκουφίσθην
did-you-perceive benefit he-says to-them greatly I-was-lightened
καὶ πέπεισμαι ἀπηλλάχθαι τοῦ πάθους. λέγουσιν αὐτῷ·
and I-am-persuaded to-have-been-freed from-the passion they-say to-him
Ἄπελθε οὖν. καὶ ὑποστρέψας μετὰ πέντε ἡμέρας πενθοῦντος
go-away then and having-returned after five days mourning
τοῦ μοναστηρίου εἰσῆλθε καὶ ἔμεινεν ἔνδον ἕκτοτε ἐν κελλίῳ
the monastery he-entered and remained inside from-then in (a)-cell
πλαγίῳ, ἐξ οὗ ἐγγύτερος ὢν συνεχῶς αὐτὰς διωρθοῦτο
side from which nearer being continually them he-corrected
τὸ ὅσον ἐπ᾽ αὐτῷ. ἔζησε δὲ ἄλλα τεσσαράκοντα ἔτη
the as-much-as on him he-lived and other forty years
διαβεβαιούμενος τοῖς πατράσιν ὅτι Εἰς τὴν διάνοιάν μου
affirming to-the fathers that into the mind my
οὐκ ἀναβαίνει πάθος. τοῦτο τὸ χάρισμα τοῦ ἁγίου ἐκείνου
not goes-up passion this the gift of-the holy that
ὃς οὕτως ἐφρόντισε τοῦ μοναστηρίου.
who thus cared-for the monastery
30 Ὃν διαδέχεται Δωρόθεος, ἀνὴρ δοκιμώτατος γηράσας
whom succeeds Dorotheus (a)-man most-approved having-grown-old
ἐν βίῳ χρηστῷ καὶ ἐμπράκτῳ· μὴ δυνηθεὶς μὲν
in life good and active not having-been-able indeed
οὕτως ἐν αὐτῷ τῷ μοναστηρίῳ μεῖναι, ἐν ἀνώγεῳ
thus in very the monastery to-stay in (an)-upper-room

δὲ ἀποκεκλεισμένος θυρίδα ἐποίησεν ὁρῶσαν ἐπὶ τὸ
but shut-up (a)-window he-made looking on the
μοναστήριον τῶν γυναικῶν, καὶ ταύτην ἔκλειε καὶ ἤνοιγεν·
monastery of-the women and this he-shut and opened
ἀδιαλείπτως οὖν παρεκαθέζετο τῇ θυρίδι τὴν ἀμαχίαν
unceasingly then he-sat-by the window the peacefulness
αὐταῖς μνηστευόμενος. καὶ οὕτως ἐπεγήρασεν ἄνω εἰς τὸ
for-them wooing and thus he-grew-old up in the
ἀνώγεων, μήτε τῶν γυναικῶν ἄνω ἀνερχομένων μήτε ἐκείνου
upper-room neither the women up coming-up nor him
δυναμένου κάτω κατελθεῖν· οὐ γὰρ εἱστήκει ἡ κλῖμαξ.
being-able down to-come-down not for stood the ladder
Πιαμοῦν γέγονε παρθένος ἥτις τὰ ἔτη τῆς ζωῆς αὐτῆς 31
Piamoun was (a)-virgin who the years of-the life her
ἔζησε μετὰ τῆς ἰδίας μητρὸς μίαν παρὰ μίαν ἐσθίουσα ἐν
lived with the own mother one beside one(-day) eating in
ἑσπέρᾳ καὶ νήθουσα λίνον. αὕτη κατηξιώθη χαρίσματος
(the)-evening and spinning flax she was-deemed-worthy of-(the)-gift
προρρήσεων. ἐν οἷς συνέβη ποτὲ ἐν Αἰγύπτῳ
of-prophecies among which(-things) it-happened once in Egypt
τῆς ἀναβάσεως οὔσης κώμην κώμῃ ἐπιθέσθαι· μάχονται
the rising being (a)-village (a)-village to-attack they-fight
γὰρ εἰς τὰς ὑδρομερισίας, ὡς καὶ φόνους παρακολουθεῖν
for over the water-distributions so-that even murders to-follow
καὶ κατακοπάς. δυνατωτέρα οὖν κώμη ἐπέθετο τῇ ταύτης
and woundings (a)-more-powerful then village attacked the her
κώμῃ, καὶ ἤρχοντο ἄνδρες ἐν πλήθει μετὰ δοράτων
village and came men in (a)-multitude with spears
καὶ ῥοπάλων κόψαι τὴν κώμην αὐτῆς. παρέστη δὲ
and clubs to-cut-down the village her stood-by and
αὐτῇ ἄγγελος ἀποκαλύπτων αὐτῇ τὴν ἐπίθεσιν τούτων.
her (an)-angel revealing to-her the attack of-these

καὶ μεταστειλαμένη τοὺς πρεσβυτέρους τῆς κώμης λέγει·
and having-sent-for the elders of-the village she-says
Ἐξέλθατε καὶ ἀπαντήσατε τοῖς ἐρχομένοις ἐκ τῆσδε τῆς
go-out and meet those coming from this the
κώμης καθ' ὑμῶν, ἵνα μὴ καὶ ὑμεῖς συναπόλησθε τῇ
village against you that not also you perish-together-with the
κώμῃ, καὶ παρακαλέσατε αὐτοὺς λωφῆσαι τῆς μάχης.
village and beseech them to-desist from-the battle
φοβηθέντες δὲ οἱ πρεσβύτεροι πίπτουσιν εἰς τοὺς πόδας
having-feared but the elders fall at the feet
αὐτῆς παρακαλοῦντες καὶ λέγοντες αὐτῇ ὅτι Ἡμεῖς οὐ
her beseeching and saying to-her that we not
τολμῶμεν συναντῆσαι αὐτοῖς· οἴδαμεν γὰρ αὐτῶν τὴν
dare to-meet them we-know for their the
μέθην καὶ τὴν ἀπόνοιαν. ἀλλ' εἰ ποιεῖς ἔλεος καὶ ἐπὶ
drunkenness and the madness but if you-do mercy both on
πᾶσαν τὴν κώμην καὶ ἐπὶ τὸν οἶκον τὸν σόν, ἐξελθοῦσα
all the village and on the house the yours having-gone-out
αὐτὴ αὐτοῖς συνάντησον. ἐκείνη τοῦτο μὴ συνθεμένη,
yourself them meet she this not having-agreed
ἀνελθοῦσα εἰς τὸ δωμάτιον τὸ ἴδιον ἐν νυκτὶ ἔστη διὰ
having-gone-up into the room the own in (the)-night stood through
παντὸς εὐχομένη καὶ μὴ κλίνουσα γόνυ καὶ δεομένη τοῦ
all(-of-it) praying and not bending (the)-knee and beseeching —
θεοῦ ὅτι Κύριε ὁ κρίνων τὴν γῆν, ᾧ οὐδὲν τῶν
God that Lord the(-one) judging the earth whom nothing of-the
ἀδίκων ἀρέσκει, τῆς προσευχῆς ταύτης ἐλθούσης πρὸς
unjust(-things) pleases the prayer this having-come to
σὲ ἡ δύναμίς σου ἡλωσάτω αὐτοὺς εἰς τὸν τόπον ὅπου
you the power your let-nail them to the place where
ἂν αὐτοὺς καταλάβῃ. καὶ περὶ ὥραν πρώτην ἀπὸ τριῶν
— them it-overtake and about (the)-hour first from three

μιλίων ἡλωθέντες εἰς τὸν τόπον σαλευθῆναι οὐκ ἠδυνήθησαν·
miles nailed to the place to-be-moved not they-were-able
ἀπεκαλύφθη δὲ κἀκείνοις ὅτι πρεσβείαις ταύτης γέγονεν
it-was-revealed and also-to-them that by-(the)-intercessions of-her has-come
αὐτοῖς τὸ ἐμπόδιον· καὶ ἀποστείλαντες εἰς τὴν κώμην
to-them the hindrance and having-sent to the village
ἠτήσαντο εἰρήνην, δηλώσαντες ὅτι Εὐχαριστήσατε τῷ
they-asked peace having-declared that give-thanks —
θεῷ καὶ ταῖς εὐχαῖς Πιαμοῦν αἳ καὶ συνεπόδισαν ἡμᾶς.
to-God and to-the prayers of-Piamoun which also fettered us
Ταβέννησίς ἐστι τόπος ἐν τῇ Θηβαΐδι οὕτω καλούμενος, 32
Tabennesis is (a)-place in — (the)-Thebaid so called
ἐν ᾧ Παχώμιός τις γέγονεν, ἀνὴρ τῶν εἰς
in which Pachomius a-certain was (a)-man of-those in
εὐθεῖαν βεβιωκότων ὡς καταξιωθῆναι καὶ προρρήσεων
straight(-ways) having-lived so-as to-be-deemed-worthy both of-prophecies
καὶ ὀπτασιῶν ἀγγελικῶν. οὗτος εἰς ἄγαν ἐγένετο
and of-visions angelic this(-man) to excess was
φιλάνθρωπός τε καὶ φιλάδελφος. καθεζομένῳ οὖν αὐτῷ ἐν
humane both and brother-loving sitting then to-him in
τῷ σπηλαίῳ ὤφθη ἄγγελος καὶ λέγει αὐτῷ· Τὰ κατὰ
the cave appeared (an)-angel and says to-him the(-things) concerning
σαυτὸν κατώρθωσας· περιττῶς οὖν καθέζῃ ἐν τῷ σπηλαίῳ·
yourself you-have-accomplished superfluously then you-sit in the cave
δεῦρο καὶ ἐξελθὼν συνάγαγε πάντας τοὺς νέους μοναχοὺς
come and having-gone-out gather all the young monks
καὶ οἴκησον μετ' αὐτῶν, καὶ κατὰ τὸν τύπον ὃν
and dwell with them and according-to the pattern which
δίδωμί σοι οὕτως αὐτοῖς νομοθέτησον. καὶ ἐπέδωκεν αὐτῷ
I-give you thus for-them legislate and gave to-him
δέλτον χαλκῆν ἐν ᾗ ἐγέγραπτο ταῦτα· Συγχωρήσεις
(a)-tablet bronze in which had-been-written these(-things) you-will-allow

ἑκάστῳ κατὰ δύναμιν φαγεῖν καὶ πιεῖν· καὶ πρὸς τὰς
each according-to power to-eat and to-drink and to the
δυνάμεις τῶν ἐσθιόντων ἀνάλογα καὶ τὰ ἔργα αὐτοῖς
powers of-those eating proportionate also the works to-them
ἐγχείρισον· καὶ μήτε νηστεῦσαι κωλύσῃς μήτε φαγεῖν. οὕτω
entrust and neither to-fast prevent nor to-eat thus
μέντοι τὰ ἰσχυρὰ τοῖς ἰσχυροτέροις καὶ ἐσθίουσι, καὶ τὰ
however the strong(-works) to-the stronger and eating and the
ἄτονα τοῖς ἀτονωτέροις καὶ ἀσκητικωτέροις ἐγχείριζε
weak(-works) to-the weaker and more-ascetic entrust
ἔργα. ποίησον δὲ κέλλας διαφόρους ἐν τῇ αὐλῇ, καὶ
works make and cells various in the court and
τρεῖς κατὰ κέλλαν μενέτωσαν. ἡ δὲ τροφὴ πάντων ὑπὸ
three per (a)-cell let-them-stay the and food of-all in
ἕνα οἶκον ἐξεταζέσθω. καθευδέτωσαν δὲ μὴ ἀνακείμενοι,
one house let-be-examined let-them-sleep and not lying-down
ἀλλὰ θρόνους οἰκοδομητοὺς ὑπτιωτέρους πεποιηκότες καὶ
but seats built more-sloping having-made and
θέντες αὐτῶν ἐκεῖ τὰ στρώματα καθευδέτωσαν καθήμενοι.
having-put their there the bedding let-them-sleep sitting
φορείτωσαν δὲ ἐν ταῖς νυξὶ λεβιτῶνας λινοῦς ἐζωσμένοι.
let-them-wear and in the nights sleeveless-tunics linen girded
ἕκαστος αὐτῶν ἐχέτω μηλωτὴν αἰγείαν εἰργασμένην, ἧς
each of-them let-have (a)-sheepskin of-goat worked which
ἄνευ μὴ ἐσθιέτωσαν. ἀπιόντες δὲ εἰς τὴν κοινωνίαν κατὰ
without not let-them-eat going but to the communion on
σάββατον καὶ κυριακὴν τὰς ζώνας λυέτωσαν, τὴν μηλωτὴν
Saturday and Lord's-day the girdles let-them-loose the sheepskin
ἀποτιθέσθωσαν, καὶ μετὰ κουκουλίου μόνου εἰσιέτωσαν.
let-them-put-off and with (a)-cowl only let-them-go-in
κουκούλια δὲ αὐτοῖς ἐτύπωσεν ἄμαλλα ὡς παιδίοις, ἐν
cowls and for-them he-designed without-nap as for-children on

οἷς καὶ καυτῆρα τύπον σταυροῦ διὰ πορφυρίου ἐκέλευσεν
which also brand (the)-figure of-(a)-cross in purple he-ordered
ἐντίθεσθαι. ἐκέλευσε δὲ εἰκοσιτέσσαρα τάγματα εἶναι καὶ
to-be-put he-ordered and twenty-four orders to-be and
ἑκάστῳ τάγματι ἐπέθηκε στοιχεῖον ἑλληνικὸν ἀπὸ ἄλφα
to-each order he-assigned (a)-letter Greek from alpha
καὶ βῆτα καὶ γάμμα καὶ δέλτα καὶ τῶν καθ' ἑξῆς. ἐν
and beta and gamma and delta and the(-letters) in order in
τῷ οὖν αὐτὸν ἐρωτᾶν καὶ φιλοπραγμονεῖν εἰς τοσοῦτον
the then him to-ask and to-inquire into so-great
πλῆθος ἠρώτα τὸν δεύτερον ὁ μειζότερος· Πῶς ἔχει τὸ
(a)-multitude asked the second the greater how is the
τάγμα τοῦ ἄλφα; ἤ· Πῶς ἔχει τὸ ζῆτα; πάλιν· Ἄσπασαι
order of-the alpha or how is the zeta again greet
τὸ ῥῶ, ἰδίῳ τινὶ σημείῳ γραμμάτων ἀκολουθοῦντες. καὶ
the rho own some sign of-letters following and
τοῖς μὲν ἁπλουστέροις καὶ ἀκεραιοτέροις ἐπιθήσεις τὸ
to-the indeed simpler and more-guileless you-will-assign the
ἰῶτα, τοῖς δὲ δυσχερεστέροις καὶ σκολιωτέροις προσάξεις
iota to-the and more-difficult and more-crooked you-will-apply
τὸ ξῖ· καὶ οὕτως κατ' ἀναλογίαν τῆς καταστάσεως
the xi and thus according-to proportion of-the state
τῶν προαιρέσεων καὶ τῶν τρόπων καὶ τῶν βίων, ἑκάστῳ
of-the choices and of-the manners and of-the lives to-each
τάγματι τὸ στοιχεῖον ἐφήρμοσε, μόνων τῶν πνευματικῶν
order the letter he-fitted only the spiritual(-men)
εἰδότων τὰ σημαινόμενα. ἐγέγραπτο δὲ ἐν τῇ δέλτῳ
knowing the(-things) signified it-had-been-written and in the tablet
ὅτι Ξένος ἄλλου μοναστηρίου ἄλλον ἔχοντος τύπον μὴ
that (a)-stranger of-another monastery another having pattern not
συμφάγῃ τούτοις, μὴ συμπίῃ, μὴ εἰσέλθῃ εἰς τὴν μονὴν
eat-with these not drink-with not enter into the monastery

ἐκτὸς εἰ μὴ ἐν ὁδῷ εὑρεθῇ. τὸν μέντοι εἰσελθόντα
except if not on (the)-road he-be-found the(-one) however having-come-in
συμμεῖναι αὐτοῖς ἐπὶ τριετίαν εἴσω τῶν ἁδύτων οὐ
to-stay-with them for three-years within the sanctuaries not
δέχονται· ἀλλ' ἐργατικώτερα ἔργα ποιήσας, οὕτως εἰσβαίνει
they-receive but more-laborious works having-done thus he-goes-in
μετὰ τριετίαν. ἐσθίοντες δὲ τὰς κεφαλὰς καλυπτέτωσαν
after three-years eating and the heads let-them-cover
τοῖς κουκουλίοις ἵνα μὴ ἀδελφὸς ἀδελφὸν μασώμενον ἴδῃ.
with-the cowls that not brother brother chewing see
οὐκ ἔστι λαλῆσαι ἐσθίοντα, οὐδὲ ἐκτὸς τοῦ πίνακος ἢ
not it-is-allowed to-speak eating nor outside the plate or
τῆς τραπέζης ἀλλαχοῦ προσέχειν τῷ ὀφθαλμῷ. ἐτύπωσε
the table elsewhere to-attend with-the eye he-designed
δὲ διὰ πάσης τῆς ἡμέρας ποιεῖν αὐτοὺς εὐχὰς δώδεκα,
and through all the day to-make them prayers twelve
καὶ ἐν τῷ λυχνικῷ δώδεκα, καὶ ἐν ταῖς παννυχίσι
and in the lamp-lighting twelve and in the all-night-vigils
δώδεκα, καὶ ἐννάτην ὥραν τρεῖς· ὅτε δὲ μέλλει τὸ
twelve and (at-the)-ninth hour three when and is-about the
πλῆθος ἐσθίειν ἑκάστῃ εὐχῇ ψαλμὸν προάδεσθαι τυπώσας.
multitude to-eat with-each prayer (a)-psalm to-be-sung-before having-designed
Προσαντιλέγοντος δὲ τοῦ Παχωμίου τῷ ἀγγέλῳ ὅτι ὀλίγαι
objecting and — Pachomius to-the angel that few
εἰσὶν αἱ εὐχαί, λέγει αὐτῷ ὁ ἄγγελος· Ταῦτα διετύπωσα
are the prayers says to-him the angel these I-designed
ὡς φθάνειν καὶ τοὺς μικροὺς ἐπιτελεῖν τὸν κανόνα καὶ μὴ
so-that to-manage also the little(-ones) to-fulfill the rule and not
λυπεῖσθαι. οἱ δὲ τέλειοι νομοθεσίας χρείαν οὐκ ἔχουσι· καθ'
to-be-grieved the but perfect(-ones) of-legislation need not have by
ἑαυτοὺς γὰρ ἐν ταῖς κέλλαις ὅλον ἑαυτῶν τὸ ζῆν τῇ τοῦ
themselves for in the cells whole their-own the to-live to-the —

θεοῦ θεωρίᾳ παρεχώρησαν. τούτοις δὲ ἐνομοθέτησα ὅσοι
of-God contemplation they-gave-over for-these but I-legislated as-many-as
οὐκ ἔχουσι νοῦν ἐπιγνώμονα, ἵνα κἂν ὡς οἰκέται τὴν σύνταξιν
not have mind discerning that even as servants the ordinance
πληροῦντες τῆς πολιτείας διατεθῶσιν ἐν παρρησίᾳ.
fulfilling of-the way-of-life they-may-be-disposed in boldness
Ἔστιν οὖν ταῦτα τὰ μοναστήρια πλείονα κρατήσαντα
are then these the monasteries more having-held
τοῦτον τὸν τύπον, συντείνοντα εἰς ἑπτακισχιλίους ἄνδρας.
this the pattern amounting to seven-thousand men
ἔστι δὲ τὸ πρῶτον καὶ μέγα μοναστήριον ἔνθα αὐτὸς ὁ
is and the first and great monastery where himself —
Παχώμιος ᾤκει, τὸ καὶ τὰ ἄλλα ἀποκυῆσαν μοναστήρια,
Pachomius dwelt the(-one) also the other having-begotten monasteries
ἔχον ἄνδρας χιλίους τριακοσίους. ἐν οἷς καὶ ὁ καλὸς
having men thousand three-hundred among whom also the good
Ἀφθόνιος ὁ φίλος μου γενόμενος γνήσιος, τὸ νῦν δευτερεύων
Aphthonius the friend my having-become genuine the now second(-in-rank)
ἐν τῷ μοναστηρίῳ· ὃν ὡς ἀσκανδάλιστον ἀποστέλλουσιν
in the monastery whom as unoffending they-send
ἐν Ἀλεξανδρείᾳ ἐπὶ τὸ διαπωλῆσαι μὲν αὐτῶν τὰ ἔργα,
to Alexandria for the to-sell indeed their the works
συνωνήσασθαι δὲ τὰς χρείας. ἔστι δὲ ἄλλα μοναστήρια
to-buy and the necessities are and other monasteries
ἀπὸ διακοσίων καὶ τριακοσίων· ἐν οἷς καὶ εἰς Πανὸς
of two-hundred and three-hundred among which also into of-Pan
τὴν πόλιν εἰσελθὼν εὗρον ἄνδρας τριακοσίους. ἐν τούτῳ
the city having-entered I-found men three-hundred in this
τῷ μοναστηρίῳ ἑώρακα ῥάπτας δεκαπέντε, χαλκεῖς ἑπτά,
the monastery I-have-seen tailors fifteen smiths seven
τέκτονας τέσσαρας, καμηλαρίους δώδεκα, κναφεῖς δεκαπέντε.
carpenters four camel-drivers twelve fullers fifteen

ἐργάζονται δὲ πᾶσαν τέχνην, καὶ ἐκ τῶν περιττευμάτων
they-work and every craft and from the surpluses
οἰκονομοῦντες καὶ τὰ τῶν γυναικῶν μοναστήρια καὶ
providing-for also the of-the women monasteries and
φυλακάς. τρέφουσι δὲ καὶ χοίρους· ἐμοῦ δὲ ψέγοντος
prisons they-rear and also pigs me and blaming
τὸ πρᾶγμα, ἔλεγον ὅτι Ἐν τῇ παραδόσει παρελάβομεν
the thing they-said that in the tradition we-received
ὅτι τρεφέσθωσαν μὲν διὰ τὰ σινιάσματα, διὰ τὰ
that let-them-be-reared indeed because-of the bran because-of the
ἀποκαθαρίσματα τῶν λαχάνων, διὰ τὰ ῥιπτόμενα
cleanings of-the vegetables because-of the thrown-away
περιττώματα, ἵνα μὴ ζημιῶνται. καὶ θυέσθωσαν οἱ χοῖροι,
leavings that not they-be-lost and let-be-slaughtered the pigs
καὶ τὸ κρέας μὲν πιπρασκέσθω, τὰ δὲ ἄκρα τοῖς νοσοῦσι
and the meat indeed let-be-sold the and extremities to-the sick
καὶ τοῖς γέρουσιν ἀναλισκέσθωσαν, τῷ μετρίαν εἶναι τὴν
and to-the old-men let-be-spent by-the moderate to-be the
χώραν καὶ πολυάνθρωπον· τὸ γὰρ ἔθνος τῶν Βλεμμύων
country and populous the for nation of-the Blemmyes
αὐτοῖς παροικεῖ. ἀναστάντες δὲ οἱ ἐφημερευταὶ ὄρθριοι
them neighbors having-risen and the weekly-servers at-dawn
οἱ μὲν περὶ τὸ μαγειρεῖον οἱ δὲ περὶ τὰς τραπέζας
the(-ones) indeed about the kitchen the(-others) and about the tables
γίνονται. ἵστωσιν οὖν αὐτὰς μέχρι τῆς ὥρας ἀπαρτίσαντες,
are they-set then them until the hour having-completed(-them)
ἐπιθέντες κατὰ τράπεζαν ἄρτους, λαψάνας, συνθετὰς ἐλαίας,
having-put on (each)-table loaves greens preserved olives
τυροὺς βοῶν, τὰ τῶν κρεῶν ἄκρα, καὶ λεπτολάχανα. εἰσὶν
cheeses of-cows the of-the meats extremities and small-vegetables are
οὖν οἱ εἰσερχόμενοι ἕκτην ὥραν καὶ ἐσθίοντες, ἄλλοι
then those coming-in (at-the)-sixth hour and eating others

ἑβδόμην, ἄλλοι ὀγδόην, ἄλλοι ἐννάτην, ἄλλοι ἑνδεκάτην,
seventh others eighth others ninth others eleventh
ἄλλοι ἑσπέραν βαθεῖαν, ἄλλοι διὰ δύο, ὡς ἕκαστον
others evening late others every two(-days) so-that each
στοιχεῖον τὴν ἰδίαν ὥραν γνωρίζειν. οὕτως ἦν αὐτῶν καὶ τὰ
letter the own hour to-know thus were their also the
ἔργα· ὁ μὲν ἐργάζεται γῆν γεωργῶν, ἄλλος κῆπον,
works the(-one) indeed works (the)-land farming another (the)-garden
ἄλλος χαλκεῖον, ἄλλος ἀρτοκοπεῖον, ἄλλος τεκτονεῖον, ἄλλος
another (the)-smithy another (the)-bakery another (the)-carpentry another
γναφεῖον, ἄλλος πλέκων σπυρίδας τὰς μεγάλας, ἄλλος
(the)-fullery another plaiting baskets the large another
βυρσεῖον, ἄλλος σκυτοτομεῖον, ἄλλος καλλιγραφεῖον, ἄλλος
(the)-tannery another (the)-shoemaking another (the)-scriptorium another
πλέκων τὰ μαλάκια· ἀποστηθίζουσι δὲ πάσας τὰς γραφάς.
plaiting the soft(-baskets) they-learn-by-heart and all the scriptures

IX · TABENNESI AND JOHN OF LYCOPOLIS

In the women's monastery of Tabennesi a slander drives one sister to drown herself, and another, feigning madness, is despised until an angel shows Piteroum that she is better than he. John of Lycopolis, walled into the mountain, foretells the emperor's victories and Palladius' troubles as a bishop.

Τούτοις ἔστι καὶ μοναστήριον γυναικῶν ὡς τετρακοσίων, 33
to-these there-is also (a)-monastery of-women about four-hundred
τὴν αὐτὴν ἔχον διατύπωσιν, τὴν αὐτὴν πολιτείαν, ἐκτὸς
the same having arrangement the same way-of-life except
τῆς μηλωτῆς· καὶ αἱ μὲν γυναῖκες πέραν τοῦ ποταμοῦ,
the sheepskin and the indeed women beyond the river
οἱ δὲ ἄνδρες ἀντιπέρα. ὅταν οὖν τελευτήσῃ παρθένος,
the and men opposite when then dies (a)-virgin

ἐνταφιάσασαι αὐτὴν αἱ παρθένοι φέρουσι καὶ τιθέασι
having-prepared-for-burial her the virgins carry(-her) and place(-her)
παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ· περάσαντες δὲ οἱ ἀδελφοὶ
by the bank of-the river having-crossed and the brothers
μετὰ πορθμείου, μετὰ βαΐων καὶ κλάδων ἐλαιῶν, μετὰ
with (a)-ferry with palm-branches and boughs of-olives with
ψαλμῳδίας φέρουσιν αὐτὴν εἰς τὸ πέραν, θάπτοντες
psalmody carry her to the other-side burying(-her)
εἰς τὰ ἴδια μνήματα. παρεκτὸς μέντοι τοῦ πρεσβυτέρου
in the own tombs except however the presbyter
καὶ τοῦ διακόνου οὐδεὶς περᾷ εἰς τὸ μοναστήριον τῶν
and the deacon no-one crosses into the monastery of-the
γυναικῶν, καὶ τοῦτο κατὰ κυριακήν.
women and this on Lord's-day
Ἐν τούτῳ τῷ μοναστηρίῳ τῶν γυναικῶν συνέβη πρᾶγμα
in this the monastery of-the women happened (a)-thing
τοιοῦτον· ῥάπτης κοσμικὸς περάσας κατὰ ἄγνοιαν ἐζήτει
such (a)-tailor worldly having-crossed in ignorance was-seeking
ἔργον· καὶ ἐξελθοῦσα νεωτέρα μία, ἔρημος γάρ
work and having-gone-out younger(-woman) one desert for
ἐστιν ὁ τόπος, συνέτυχεν αὐτῷ ἀκουσίως καὶ δέδωκεν
is the place met him involuntarily and gave
αὐτῷ ἀπόκρισιν ὅτι Ἡμεῖς ἔχομεν ἡμετέρους ῥάπτας.
him (an)-answer that we have our-own tailors
ἄλλη ἑωρακυῖα τὴν συντυχίαν, χρόνου παρελθόντος καὶ
another having-seen the meeting time having-passed and
γενομένης μάχης, ἐξ ὑπονοίας διαβολικῆς ἀπὸ πολλῆς
having-occurred (a)-quarrel from suspicion devilish from much
πονηρίας καὶ ζέσεως θυμοῦ, ἐσυκοφάντησε ταύτην ἐπὶ τῆς
wickedness and boiling of-temper slandered her before the
ἀδελφότητος· ᾗ συνέδραμον καὶ ἄλλαι ὀλίγαι τῇ
sisterhood with-whom ran-together also others few in-the

κακίᾳ. ἀπολυπηθεῖσα οὖν ἐκείνη ὡς ὑποστᾶσα τοιαύτην
malice having-been-grieved then she as having-undergone such
συκοφαντίαν τὴν μήτε εἰς ἔννοιαν αὐτῆς ἐλθοῦσαν, καὶ
slander the(-thing) not-even into thought her having-come and
μὴ ἐνεγκοῦσα ἔβαλεν ἑαυτὴν εἰς τὸν ποταμὸν λάθρα καὶ
not having-borne(-it) she-threw herself into the river secretly and
ἐτελεύτησεν. οὕτως ἡ συκοφαντήσασα, γνοῦσα ὅτι
died thus the(-one) having-slandered having-known that
ἐσυκοφάντησεν ἀπὸ πονηρίας καὶ εἰργάσατο τὸ ἄγος
she-had-slandered from wickedness and had-worked the abomination
τοῦτο, λαβοῦσα ἀπήγξατο καὶ αὐτὴ μὴ στέξασα τὸ
this having-taken(-it) hanged-herself also she not having-endured the
πρᾶγμα. ἐλθόντι οὖν τῷ πρεσβυτέρῳ ἀνήγγειλαν τὸ πρᾶγμα
thing having-come then to-the presbyter reported the matter
αἱ λοιπαὶ ἀδελφαί· καὶ ἐκέλευσε τούτων μὲν μηδὲ μιᾶς
the other sisters and he-ordered of-these indeed not-even of-one
προσφορὰν ἐπιτελεσθῆναι· τὰς δὲ μὴ εἰρηνευσάσας αὐτάς, ὡς
(an)-offering to-be-performed those but not having-made-peace them as
συνειδυίας τῇ συκοφαντησάσῃ καὶ πιστευσάσας τοῖς
being-privy with-the(-one) having-slandered and having-believed the(-things)
εἰρημένοις, ἑπταετίαν ἀφώρισεν ἀκοινωνήτους ποιήσας.
said for-seven-years he-excluded excommunicated having-made(-them)
Ἐν τούτῳ τῷ μοναστηρίῳ ἄλλη γέγονε παρθένος 34
in this the monastery another was (a)-virgin
ὑποκρινομένη μωρίαν καὶ δαίμονα· καὶ ἐπὶ τοσοῦτον αὐτὴν
feigning folly and (a)-demon and to so-far her
ἐβδελύξαντο ὡς μηδὲ συνεσθίειν αὐτῇ, τοῦτο ἐκείνης
they-loathed that not-even to-eat-with her this she
αἱρησαμένης. ἀλωμένη οὖν ἀνὰ τὸ μαγειρεῖον πᾶσαν
having-chosen wandering then about the kitchen all
ἐποίει ὑπηρεσίαν, καὶ ἦν, τὸ δὴ λεγόμενον, σπόγγος
she-did service and she-was the indeed being-said (the)-sponge

τῆς μονῆς, ἔργῳ πληροῦσα τὸ γεγραμμένον· Εἴ τις
of-the monastery in-deed fulfilling the(-thing) written if anyone
δοκεῖ σοφὸς εἶναι ἐν ἡμῖν ἐν τῷ αἰῶνι τούτῳ μωρὸς
thinks wise to-be among us in the age this foolish
γενέσθω ἵνα γένηται σοφός. αὐτὴ ῥάκος ἐπὶ τῆς
let-him-become that he-may-become wise she (a)-rag on the
κεφαλῆς δήσασα — αἱ γὰρ ἄλλαι πᾶσαί εἰσι κεκαρμέναι,
head having-bound the for others all are shorn
ἔχουσαι κουκούλια—, οὕτως ἦν ὑπηρετοῦσα. ταύτην
having cowls thus she-was serving her
μασωμένην οὐκ εἶδεν οὐδεμία τῶν τετρακοσίων τὰ ἔτη τῆς
chewing not saw any-one of-the four-hundred the years of-the
ζωῆς αὐτῆς· ἐπὶ τραπέζης οὐκ ἐκαθέσθη, οὐ κλάσματος
life her at table not she-sat not of-(a)-crumb
μετέλαβεν ἄρτου, ἀλλὰ τὰς ψίχας σπογγίζουσα τῶν
partook of-bread but the crumbs wiping-up from-the
τραπεζῶν καὶ τὰς χύτρας περιπλύνουσα τούτοις ἠρκεῖτο·
tables and the pots washing-out with-these she-was-content
μὴ ὑβρίσασά ποτέ τινα, μὴ γογγύσασα, μὴ λαλήσασα
not having-insulted ever anyone not having-grumbled not having-spoken
μικρὸν ἢ μέγα, καίπερ κονδυλιζομένη καὶ ὑβριζομένη καὶ
small or great although buffeted and insulted and
καταρωμένη καὶ μυσαττομένη.
cursed and abhorred
Παρέστη οὖν ἄγγελος τῷ ἁγίῳ Πιτηροῦμ ἐν τῷ Πορφυρίτῃ
stood-by then (an)-angel the holy Piteroum in the Porphyrites
καθεζομένῳ ἀναχωρητῇ ἀνδρὶ δοκιμωτάτῳ, καὶ λέγει
sitting anchorite (a)-man most-approved and says
αὐτῷ· Διὰ τί μέγα φρονεῖς ἐπὶ σεαυτῷ ὡς
to-him because-of what great(-things) do-you-think on yourself as
εὐλαβής, καὶ ἐν τοιούτῳ καθεζόμενος τόπῳ; θέλεις ἰδεῖν
pious and in such sitting place do-you-wish to-see

εὐλαβεστέραν σου γυναῖκα; ἄπελθε εἰς τὸ μοναστήριον
more-pious than-you (a)-woman go-away to the monastery
τῶν γυναικῶν τῶν Ταβεννησιωτῶν, καὶ ἐκεῖ εὑρήσεις μίαν
of-the women of-the Tabennesiotes and there you-will-find one
διάδημα ἔχουσαν ἐπὶ τῆς κεφαλῆς· αὕτη σου ἀμείνων
(a)-diadem having on the head she than-you better
ἐστί. τοσούτῳ γὰρ ὄχλῳ πυκτεύουσα, τὴν καρδίαν αὐτῆς
is with-so-great for (a)-crowd boxing the heart her
οὐδέποτε ἀπέστησε τοῦ θεοῦ· σὺ δὲ καθεζόμενος ὧδε,
never she-withdrew — from-God you but sitting here
ἀνὰ τὰς πόλεις πλανᾶσαι τῇ διανοίᾳ. καὶ ὁ μηδέποτε
through the cities you-wander in-the mind and he-who never
ἐξελθὼν ἀπῆλθεν ἕως τοῦ μοναστηρίου ἐκείνου, καὶ
having-gone-out went-away as-far-as the monastery that and
παρακαλεῖ τοὺς διδασκάλους εἰσελθεῖν εἰς τὸ μοναστήριον
begs the teachers to-go-in into the monastery
τῶν γυναικῶν. ἐκεῖνοι ὡς ἐπίδοξον καὶ γεγηρακότα
of-the women they as renowned and having-grown-old
ἐθάρρησαν αὐτὸν εἰσαγαγεῖν. καὶ εἰσελθὼν ἐπεζήτησε
took-courage him to-bring-in and having-entered he-sought
πάσας ἰδεῖν. ἐκείνη οὐ παρεφαίνετο. τέλος λέγει αὐταῖς·
all to-see she not appeared at-last he-says to-them
Φέρετέ μοι πάσας· λείπει γὰρ καὶ ἄλλη. λέγουσιν αὐτῷ·
bring to-me all is-lacking for also another they-say to-him
Μίαν ἔχομεν σαλὴν ἔνδον ἐν τῷ μαγειρείῳ· — οὕτω
one we-have crazy inside in the kitchen thus
γὰρ καλοῦσι τὰς πασχούσας. λέγει αὐταῖς· Ἀγάγετέ μοι
for they-call those suffering he-says to-them bring to-me
κἀκείνην· ἄφετε αὐτὴν ἴδω. ἀπῆλθον αὐτῇ φωνῆσαι·
also-her let her I-may-see they-went-away to-her to-call
αὐτὴ οὐχ ὑπήκουσεν, ἴσως αἰσθομένη τοῦ πράγματος, ἢ καὶ
she not obeyed perhaps having-perceived the matter or also

ἀποκαλυφθεῖσα. σύρουσι βίᾳ καὶ λέγουσιν αὐτῇ· Ὁ ἅγιος
having-had-it-revealed they-drag(-her) by-force and say to-her the holy
Πιτηροῦμ σε θέλει ἰδεῖν. ἦν γὰρ ὀνομαστός. ἐλθούσης οὖν
Piteroum you wishes to-see he-was for renowned having-come then
αὐτῆς ἐθεάσατο τὸ ῥάκος τὸ ἐπὶ τοῦ μετώπου αὐτῆς, καὶ
she he-beheld the rag the(-one) on the forehead her and
πεσὼν εἰς τοὺς πόδας αὐτῆς λέγει αὐτῇ· Εὐλόγησόν με.
having-fallen at the feet her he-says to-her bless me
ὁμοίως κἀκείνη ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγουσα· Σύ
likewise she-too fell at the feet his saying you
με εὐλόγησον, κύριε. ἐξέστησαν πᾶσαι καὶ λέγουσιν αὐτῷ·
me bless lord were-amazed all and say to-him
Ἀββᾶ, μὴ πάσχε ὕβριν· σαλή ἐστι. λέγει αὐταῖς πάσαις ὁ
abba not suffer insult crazy she-is he-says to-them all —
Πιτηροῦμ· Ὑμεῖς ἐστὲ σαλαί· αὕτη γὰρ καὶ ἐμοῦ καὶ ὑμῶν
Piteroum you are crazy she for both my and your
ἀμμᾶς ἐστίν· — οὕτως γὰρ καλοῦσι τὰς πνευματικάς· —
amma is thus for they-call the spiritual(-women)
καὶ εὔχομαι ἄξιος αὐτῆς εὑρεθῆναι ἐν τῇ ἡμέρᾳ τῆς
and I-pray worthy of-her to-be-found in the day of-the
κρίσεως. ἀκούσασαι ταῦτα ἔπεσον αὐτοῦ εἰς τοὺς πόδας,
judgment having-heard these(-things) they-fell his at the feet
ἐξομολογούμεναι πᾶσαι διαφόρως· ἡ μὲν ὡς τὸ
confessing all variously the(-one) indeed as the
ἀπόπλυμα τοῦ πίνακος ἐπιχέασα αὐτῇ· ἄλλη ὡς κονδύλοις
slops of-the plate having-poured-on her another as with-buffets
ἐπιτριψαμένη· ἄλλη ὡς τὴν ῥῖνα αὐτῆς σιναπίσασα· καὶ
having-bruised(-her) another as the nose her having-mustard-plastered and
ἁπλῶς πᾶσαι διαφόρους ὕβρεις ἀπήγγειλαν. εὐξάμενος οὖν
simply all various insults reported having-prayed then
ὑπὲρ αὐτῶν ἀπῆλθε. καὶ μεθ' ἡμέρας ὀλίγας μὴ ἐνεγκοῦσα
for them he-went-away and after days few not having-borne

ἐκείνη τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἀδελφῶν, καὶ ταῖς
she the glory and the honor of-the sisters and by-the
ἀπολογίαις βαρυνθεῖσα, ἐξῆλθε τοῦ μοναστηρίου· καὶ ποῦ
apologies weighed-down went-out from-the monastery and where
ἀπῆλθεν, ἢ ποῦ κατέδυ, ἢ πῶς ἐτελεύτησεν, ἔγνω οὐδείς.
she-went-away or where she-sank or how she-died knew no-one
Γέγονέ τις Ἰωάννης ἐν Λυκῷ τῇ πόλει, ὃς ἐν παιδίῳ 35
was a-certain John in Lyco the city who in childhood
μὲν ἔμαθε τὴν τεκτονικήν· ᾧ ἀδελφὸς ὑπῆρχε βαφεύς.
indeed learned the carpentry whose brother was (a)-dyer
ἐς ὕστερον δὲ γενόμενος ὡς ἐτῶν εἰκοσιπέντε ἀπετάξατο·
at later and having-become about of-years twenty-five he-renounced
καὶ διατρίψας ἐν διαφόροις μοναστηρίοις πέντε ἔτη
and having-spent-time in various monasteries five years
ἀνεχώρησε μόνος εἰς τὸ ὄρος τῆς Λυκῶ, εἰς αὐτὴν τὴν
withdrew alone to the mountain — of-Lyco to very the
ἀκρώρειαν ποιήσας ἑαυτῷ τρεῖς θόλους καὶ εἰσελθὼν
summit having-made for-himself three domes and having-gone-in
ἀνῳκοδόμησεν ἑαυτόν. ἦν οὖν ὁ εἷς θόλος εἰς τὰς χρείας
walled-up himself was then the one dome for the needs
τῆς σαρκός, καὶ ὁ εἷς ἔνθα εἰργάζετο καὶ ἤσθιε, καὶ ὁ
of-the flesh and the one where he-worked and ate and the
ἄλλος ἔνθα προσηύχετο. οὗτος τριάκοντα πληρώσας ἔτη
other where he-prayed this(-man) thirty having-completed years
ἐγκεκλεισμένος καὶ διὰ θυρίδος λαμβάνων παρὰ τοῦ
shut-in and through (a)-window receiving from the(-one)
διακονοῦντος αὐτῷ τὰς χρείας κατηξιώθη χαρίσματος
ministering to-him the needs was-deemed-worthy of-(the)-gift
προρρήσεων. ἐν οἷς καὶ τῷ μακαρίῳ Θεοδοσίῳ τῷ
of-prophecies among which also to-the blessed Theodosius the
βασιλεῖ διαφόρους ἀπέστειλε προρρήσεις, περί τε Μαξίμου
emperor various he-sent prophecies about both Maximus

τοῦ τυράννου, ὅτι νικήσας αὐτὸν ὑποστρέψει τῶν
the tyrant that having-conquered him he-will-return from-the
Γαλλίων· ὁμοίως δὲ καὶ περὶ Εὐγενίου τοῦ τυράννου
Gauls likewise and also about Eugenius the tyrant
εὐηγγελίσατο. τούτου ἐξῆλθε φήμη πολλὴ ὡς ἐναρέτου.
he-announced-good-news of-this(-man) went-out (a)-report great as virtuous
Ὄντες οὖν ἡμεῖς ἐν τῇ ἐρήμῳ τῆς Νιτρίας, ἐγώ τε καὶ
being then we in the desert — of-Nitria I both and
οἱ περὶ τὸν μακάριον Εὐάγριον, ἐζητοῦμεν μαθεῖν τὴν
those around the blessed Evagrius sought to-learn the
ἀκρίβειαν, τίς ἡ ἀρετὴ τοῦ ἀνδρός. λέγει οὖν ὁ μακάριος
exactness what the virtue of-the man says then the blessed
Εὐάγριος· Ἡδέως ἐμάνθανον παρὰ τοῦ εἰδότος δοκιμάζειν
Evagrius gladly I-would-learn from the(-one) knowing to-test
νοῦν καὶ λόγον, ποταπὸς εἴη ὁ ἀνήρ· ἐὰν γὰρ ἐγὼ
mind and speech of-what-sort might-be the man if for I
αὐτὸς ἰδεῖν αὐτὸν μὴ δυνηθῶ, τὰ δὲ τῆς πολιτείας
myself to-see him not be-able the(-things) but of-the way-of-life
αὐτοῦ ἀκοῦσαι ἀκριβῶς δυνηθῶ ἄλλου διηγουμένου, οὐκ
his to-hear exactly be-able another relating not
ἀπέρχομαι ἕως τοῦ ὄρους. ἀκούσας ἐγὼ καὶ μηδενὶ μηδὲν
I-go-away as-far-as the mountain having-heard I and to-no-one anything
εἰρηκὼς ἡσύχασα μίαν ἡμέραν· τὴν δὲ ἄλλην ἀποκλείσας
having-said I-kept-still one day the and other having-shut
μου τὸ κέλλιον καὶ θεῷ παραθέμενος ἑαυτὸν καὶ αὐτὸ
my the cell and to-God having-committed myself also it(-very)
ἐσκύλην ἕως Θηβαΐδος. καὶ ἔφθασα δι' ἡμερῶν
I-took-the-trouble as-far-as (the)-Thebaid and arrived in days
δεκαοκτώ, τὰ μὲν πεζεύσας, τὰ δὲ καὶ πλεύσας
eighteen the(-way) indeed having-walked the(-way) and also having-sailed
ἐν τῷ ποταμῷ. ὁ καιρὸς δὲ ἦν τῆς ἀναβάσεως, ἐν ᾧ
in the river the season and was of-the rising in which

νοσοῦσι πολλοί· ὃ δὴ καὶ ὑπέστην. ἀπελθὼν οὖν
are-sick many which indeed also I-underwent having-gone-away then
εὗρον αὐτοῦ κεκλεισμένον τὸ προεισοδικόν· ὕστερον γὰρ
I-found his shut the vestibule later for
προσῳκοδόμησαν οἱ ἀδελφοὶ προεισοδικὸν μέγιστον, ἐν ᾧ
built-on the brothers (a)-vestibule very-great in which
χωροῦσιν ἄνδρες ὡς ἑκατόν· καὶ κλειδίῳ ἀποκλείοντες
are-contained men about (a)-hundred and with-(a)-key shutting(-it)
κατὰ σάββατον καὶ κυριακὴν ἤνοιγον. μαθὼν οὖν τὴν
on Saturday and Lord's-day they-opened(-it) having-learned then the
αἰτίαν δι' ἣν ἐγκέκλειστο, ἡσύχασα ἕως τοῦ σαββάτου.
cause for which he-had-been-shut-in I-kept-still until the Saturday
καὶ παραγενόμενος ὥραν δευτέραν ἐν τῇ συντυχίᾳ
and having-arrived (at-the)-hour second at the meeting
εὗρον αὐτὸν ἐν τῇ θυρίδι παρακαθεζόμενον, δι' ἧς
I-found him at the window sitting-by through which
ἐδόκει παρακαλεῖν τοὺς παρατυγχάνοντας. ἀσπασάμενος
he-seemed to-exhort those present having-greeted
οὖν με ἔλεγε δι' ἑρμηνέως· Πόθεν εἶ, καὶ τί
then me he-said through (an)-interpreter from-where are-you and why
παραγέγονας; στοχάζομαι γάρ σε τῆς συνοδίας εἶναι τῆς
have-you-come I-conjecture for you of-the company to-be the(-one)
Εὐαγρίου. εἶπον ὅτι Ξένος ἐκ Γαλατίας ὡρμημένος·
of-Evagrius I-said that (a)-stranger from Galatia having-set-out
ὡμολόγησα δὲ ὅτι καὶ τῆς ἑταιρείας Εὐαγρίου. ἐν τῷ
I-confessed and that also of-the fellowship of-Evagrius in the
μεταξὺ λαλούντων ἡμῶν ἐπεισῆλθεν ὁ ἡγεμὼν τῆς χώρας,
meanwhile talking us came-in the governor of-the country
Ἀλύπιος ὀνόματι· ᾧ προσδραμὼν ἀφῆκε τὴν ἐμὴν
Alypius by-name to-whom having-run he-left the my
ὁμιλίαν. ἀναχωρήσας οὖν ὀλίγον δέδωκα αὐτοῖς τόπον
converse having-withdrawn then (a)-little I-gave them room

ἑστὼς πόρρωθεν. ἐπὶ πολὺ δὲ συνομιλούντων αὐτῶν
standing far-off for long and conversing them
ἠκηδίασα, καὶ ἀκηδιάσας κατεγόγγυσα τοῦ καλογήρου,
I-grew-listless and having-grown-listless I-grumbled-against the good-old-man
ὡς ἐμοῦ μὲν καταφρονήσαντος τιμήσαντος δὲ ἐκεῖνον. καὶ
as me indeed having-despised having-honored but that(-one) and
ἐπὶ τοῦτο σιανθεὶς τὴν διάνοιαν ἐσκεπτόμην ἀναχωρῆσαι
at this disgusted in-the mind I-considered to-withdraw
καταφρονήσας αὐτοῦ. προσκαλεσάμενος δὲ τὸν ἑρμηνέα,
having-despised him having-called and the interpreter
Θεόδωρον ὀνόματι, λέγει αὐτῷ· Ἄπελθε, εἰπὲ τῷ ἀδελφῷ
Theodore by-name he-says to-him go-away tell the brother
ἐκείνῳ· Μὴ μικροψύχει· ἄρτι ἀπολύω τὸν ἡγεμόνα καὶ
that not lose-heart now I-dismiss the governor and
λαλῶ σοι. ἔδοξα οὖν ὡς πνευματικῷ αὐτῷ προσχὼν
I-speak to-you I-resolved then as to-(a)-spiritual(-man) to-him having-attended
προσκαρτερεῖν. καὶ ἐξελθόντος τοῦ ἡγεμόνος προσκαλεῖταί
to-wait and having-gone-out the governor he-calls
με καὶ λέγει μοι· Διὰ τί ἐβλάβης κατ᾽ ἐμοῦ; τί
me and says to-me because-of what were-you-harmed against me what
ἄξιον βλάβης εὗρες, ὅτι ἐκεῖνα ἐλογίσω ἅπερ οὔτε ἐμοὶ
worthy of-harm did-you-find that those(-things) you-reckoned which neither to-me
πρόσεστιν οὔτε σοι ἔπρεπεν; ἢ οὐκ οἶδας ὅτι γέγραπται·
belongs nor to-you was-fitting or not do-you-know that it-is-written
Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλ᾽ οἱ
not need have those being-healthy of-(a)-physician but those
κακῶς ἔχοντες; σὲ ὅτε θέλω εὑρίσκω, καὶ σὺ ἐμέ. καὶ ἐὰν
badly having you when I-wish I-find and you me and unless
μὴ ἐγώ σε παρακαλέσω, ἄλλοι σε ἀδελφοὶ παρακαλοῦσι
— I you exhort others you brothers exhort
καὶ ἄλλοι πατέρες. οὗτος δέ ἐστιν ἐκδεδομένος τῷ
and other fathers this(-man) but is given-over to-the

διαβόλῳ διὰ τῶν κοσμικῶν πραγμάτων, καὶ βραχεῖαν
devil through the worldly affairs and brief
ἀναπνεύσας ὥραν, ὡς δραπετεύσας οἰκέτης δεσπότην,
having-breathed (an)-hour as having-run-away (a)-slave (from)-master
παρεγένετο ὠφεληθῆναι· ἄτοπον οὖν ἦν καταλείψαντας
arrived to-be-benefited absurd therefore it-was having-left
αὐτὸν σοὶ προσδιατρίψαι, σοῦ ἀδιαλείπτως τῇ σωτηρίᾳ
him with-you to-spend-time you unceasingly for-the salvation
σχολάζοντος. παρακαλέσας οὖν αὐτὸν εὔξασθαι ὑπὲρ
being-at-leisure having-begged then him to-pray for
ἐμοῦ ἐπληροφορήθην ὅτι ἀνὴρ ἦν πνευματικός. τότε
me I-was-fully-assured that (a)-man he-was spiritual then
χαριεντιζόμενος τῇ δεξιᾷ χειρὶ εἰς τὴν ἀριστεράν μου
jesting with-the right hand on the left my
σιαγόνα ἠρέμα κοσσίσας, λέγει μοι· Πολλαί σε μένουσι
cheek gently having-slapped he-says to-me many you await
θλίψεις, καὶ πολλὰ ἐπολεμήθης ἐξελθεῖν τῆς ἐρήμου· καὶ
afflictions and much you-were-warred-on to-go-out from-the desert and
ἐδειλάνθης καὶ ὑπερέθου· εὐλαβεῖς δέ σοι προφάσεις καὶ
you-were-afraid and you-put-off pious but to-you pretexts and
